Ex quo fit vt imperfectè quodammodo ſint fori iudiciorum participes, ſed vt pueri nondum ætate perfecti, & ſenes ob ætatem à muneribus publicis vacantes, nō ſimpliciter ciues dicēdi ſunt, ſed quodammodo ciues. At nos quærimus eum, qui ſimpliciter ciuis dicatur, nec habeat aliquam adiūctionem quę reſtringat & corrigat: cum & de infamibus & de exulibus eodem modo vt ſuprà dubitari, & reſponderi poteſt. Ciuis ſimpliciter nulla alia re definitur magis, quàm participatione poteſtatis publicæ iudicandi & decernendi. Poteſtates autem, aliæ ſunt determinatæ ſecundum tempus, ita vt non liceat interdum, nec ſemel eandem habere, aut per alia temporum ſpatia, aliæ ſunt indeterminatæ, ceu illius qui in concione deliberat, & qui iudicat, quanquam fortaſſe diceret aliquis, tales non eſſe in poteſtate conſtitutos: Atqui ridiculum foret, qui de maximis rebus deliberant & decernunt, eos poteſtatem dicere non habere. Sed nihil referat, cùm de nomine ſit quæſtio. eſt enim abſque nomine publica poteſtas iudicantis decernentíſque in concione, ſed ſit definitionis gratia indeterminata poteſtas. Ponimus autem eos eſſe ciues, qui huius poteſtatis vna cum aliis participes ſunt: maximè igitur propriè ciuis, ſuper omnes alios qui ciues dicuntur, ferè talis eſt. Nec latere nos debet, quòd in rebus, quarum ſubiecta differunt ſpecie, & aliud eorum eſt primum, aliud ſecundum, aliud conſequens, aut omnino nihil eſt (qua talia ſunt) commune, aut vix. Reſpublicas autem videmus ſpecie differre: & alias eſſe poſteriores, alias priores. Quæ enim aberrauerunt ac prolapſæ ſunt, neceſſe eſt vt poſteriores ſint integris & incorruptis, quomodo autē dicamus eas labi, poſtea patebit. Quare ciuem quoq. eſſe aliū atq. aliū, neceſſe eſt ſecūdū differētiā rerūpublicarū. Itaq. ille, de quo diximus, in populari quidē ſtatu maximè eſt ciuis: in aliis verò ſpeciebus eſſe quidē poteſt, nō tamē neceſſe eſt. In quibuſdā.n. ciuitatibus nec populus eſt, neq. concionis vſus, ſed ſenatū habēt & iudicia, vt apud Lacedęmonios de cōtractibus cognoſcūt hi, qui Ephori nuncupātur: alij alios: de cæde autē ſenatus, & forſan alius magiſtratus de aliis, eodēq. modo apud Carthaginiēſes, de omnibus quidē cauſis magiſtratus quidā cognoſcūt. Sed recipit correctionē quādā

διὸ ἁπλῶς πως μετέχουσι τῆς τοιαύτης κοινωνίας· ἀλλὰ καθάπερ καὶ παῖδας τοὺς μήπω δι' ἡλικίαν ἐγγεγραμμένους, καὶ τοὺς γέροντας τοὺς ἀφειμένους, φατέον εἶναι μέν πως πολίτας, οὐχ ἁπλῶς δὲ λίαν, ἀλλὰ προστιθέντας, τοὺς μὲν ἀτελεῖς, τοὺς δὲ παρηκμακότας, ἤ τι τοιοῦτον ἕτερον· οὐδὲν γὰρ διαφέρει· δῆλον γὰρ τὸ λεγόμενον· ζητοῦμεν γὰρ τὸν ἁπλῶς πολίτην, καὶ μηδὲν ἔχοντα τοιοῦτον ἔγκλημα διορθώσεως δεόμενον· ἐπεὶ καὶ περὶ τῶν ἀτίμων καὶ φυγάδων ἔστι τὰ τοιαῦτα καὶ διαπορεῖν καὶ λύειν. πολίτης δ' ἁπλῶς οὐδενὶ τῶν ἄλλων ὁρίζεται μᾶλλον, ἢ τῷ μετέχειν κρίσεως καὶ ἀρχῆς. τῶν ἀρχῶν αἱ μέν εἰσι διῃρημέναι κατὰ χρόνον, ὥστ' ἐνίας μὲν ὅλως δὶς τὸν αὐτὸν οὐκ ἔξεστιν ἄρχειν, ἢ διά τινων ὡρισμένων χρόνων· ἡ δ' ἀόριστος, οἷον ὁ δικαστὴς καὶ ἐκκλησιαστής. τάχα μὲν οὖν ἂν φαίη τις οὐδ' ἄρχοντας εἶναι τοὺς τοιούτους, οὐδὲ μετέχειν ταῦτ' ἀρχῆς. καίτοι γελοῖον τοὺς κυριωτάτους ἀποστερεῖν ἀρχῆς, ἀλλὰ διαφερέτω μηδέν· περὶ ὀνόματος γὰρ ὁ λόγος· ἀνώνυμον γὰρ τὸ κοινὸν ἐπὶ δικαστοῦ καὶ ἐκκλησιαστοῦ, τί δεῖ ταῦθ' ἄμφω καλεῖν. ἔστω δὴ διορισμοῦ χάριν, ἀόριστος ἀρχή. τίθεμεν δὴ πολίτας τοὺς οὕτω μετέχοντας. ὁ μὲν οὖν μάλιστ' ἂν ἐφαρμόσας πολίτης ἐπὶ πάντας τοὺς λεγομένους πολίτας, σχεδὸν τοιοῦτός ἐστι. δεῖ δὲ μὴ λανθάνειν, ὅτι τῶν πραγμάτων ἐν οἷς τὰ ὑποκείμενα διαφέρει τῷ εἴδει, καὶ τὸ μὲν αὐτῶν ἐστι πρῶτον, τὸ δὲ δεύτερον, τὸ δ' ἐχόμενον, ἢ τὸ παράπαν οὐδέν ἐστιν, ἢ τοιαῦτα, τὸ κοινόν, ἢ γλίσχρως. τὰς δὲ πολιτείας ὁρῶμεν εἴδει διαφερούσας ἀλλήλων, καὶ τὰς μὲν ὑστέρας, τὰς δὲ προτέρας οὔσας. τὰς γὰρ ἡμαρτημένας καὶ παρεκβεβηκυίας, ἀναγκαῖον ὑστέρας εἶναι τῶν ἀμαρτήτων· τὰς δὲ παρεκβεβηκυίας πῶς λέγομεν, ὕστερον ἔσται φανερόν. ὥστε καὶ τὸν πολίτην ἕτερον ἀναγκαῖον εἶναι τὸν καθ' ἑκάστην πολιτείαν. διόπερ ὁ λεχθεὶς ἐν μὲν δημοκρατίᾳ μάλιστ' ἐστὶ πολίτης, ἐν δὲ ταῖς ἄλλαις ἐνδέχεται μέν, οὐ μὴν ἀναγκαῖον. ἐνίαις γὰρ οὐκ ἔστι δῆμος, οὐδ' ἐκκλησίαν νομίζουσιν, ἀλλὰ συγκλήτους, καὶ τὰς δίκας δικάζουσι κατὰ μέρος. οἷον ἐν Λακεδαίμονι τὰς τῶν συμβολαίων δικάζει τῶν ἐφόρων ἄλλος ἄλλας· οἱ δὲ γέροντες, τὰς φονικάς. ἑτέρα δ' ἴσως ἀρχή τις ἑτέρας. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ Καρχηδόνα· πάσας γὰρ ἀρχαί τινες κρίνουσι τὰς δίκας. ἀλλ' ἔχει γὰρ διόρθωσιν ὁ τοῦ πολίτου διορισμός. ἐν γὰρ ταῖς